3.

# ΑΝΘΡΩΠΟΜΥΟΜΑΧΙΑ.

(Ein Fragment.)

NB. Zuweilen kommen in den untern Theil Württembergs sehr viele Mäuse, wie man sagt, aus den Rheingegenden; dieß gab theilweise Veranlassung zu diesem kleinen komisch-satyrischen Epos.

Ἄνθρωπός περ ἐὼν μύας ᾄσομαι ἀργιόδοντας,
Ὠκύποδας, τοῖς αὐτὸς Ἄρης ποτ' ἀμύμονα θυμὸν
Ἔνσταξεν, τρόμον οὔτιν' ἐνὶ σμικροῖσι πόδεσσιν,
Οὔτε δέος χλωρόν ποτ' ἔχειν, ἀλλ' ἀντιβίοισι
Δεινὸν ὀδοῦσι μάχεσθαι ἐπ' ἄνδρας χαλκοκορυστάς.
Τῶν ἀμόθεν γε φίλον μοι ἐπείγεται ητορ ἀείδειν.
Τοὔνομα Μυονίη, χώρη τις ἀπόπροθέν ἐστι,
Τῆς μέρος ἐν ξηρᾷ κεῖται, Ῥήνοιο παρ' ὄχθαις
Καλλιῤῥόου ποταμοῦ, ἕτερον μέρος ἀμφικέκλυσται.
Κεῖθι μύες δ' ὑπὸ γῇ ἑὰ δώματα ναιετάασκον,
Αὐτὰρ ὕπερθε φέρεσκον ἀγροὶ μάλα πίονα καρπόν,
Ἄνθεα καλά, πόην, κρῖ λευκὸν ἰδ' ἄλφιτα πυκνά.
Ἀνθρώπων δ' οὐδεὶς κώμας καὶ ἄστεα οἶδε
Καλὰ μυῶν, τέχνῃ τάπερ αὐτοὶ ᾠκοδόμησαν.
Πάντα γάρ ἐστ' ὑπόγεια, ζόφῳ κεκαλυμμένα νυκτός.
Εἷς δ' ἐκεῖ οἶκον ἕκαστος ἔχει καλόν τε μικρόν τε
Σύν τε γυναικὶ φίλῃ καὶ σὺν τέκνοισι φίλοισι.
Πὰρ δὲ μυχοί, ἐνὶ τοῖσι πατὴρ 'γαθὰ βρωτὰ φυλάττει
Παντοῖ', ὄφρα φαγεῖν ὥρῃ χειμῶνος ἔχωσιν.

Τὴν δὲ πόσιν φρεάτων βαθέων ἐξ αὐτὸς ἀφύσσει
Οὐδείς, ἀλλὰ θεοῦ ὑετὸν πίνουσιν ἅπαντες.
Οὐδ' ἄρα τοῦτο φιλοῦσι, μυῶν βιόειν ἑκὰς ἄλλων·
Ὤρυξαν γὰρ ὁδοὺς πρὸς πλησίον ὄντας ἕκαστος,
Τῶν διὰ ὦκα φέροντ', εὖ εἰδότες, ᾗπερ ἄγουσιν.
Οὔθ' οἱ δεύονται ἀρχόντων ἡγεμόνων τε,
Οὔτε μυὸς βασιλῆος, ὅου κράτος ἐστὶ μέγιστον.
Μυοκρέων δ' ἄρ ἄναξ κατ' ἐπωνυμίην κέκληται,
Ἀργεννῇ δ' ἐσθῆτι πυκασμένος ἐστὶν ἁπάντων
Οἷος· ἐπ' αὖ κεφαλῇ κόσμηται στέμματι χρυσοῦ.
Χρυσὸν γὰρ Ῥήνοιο φέρουσιν κύματα πολλόν·
Ἀλλ' ἄγε, Μοῦσ', ἀρχὴν ᾆδε κρυεροῦ πολέμοιο.
Μυοκρέων λιγύφωνον ἵει κήρυκα, ποδώκη,
Εἰς βουλὴν καλέειν ἡγήτορας ἠδὲ μέδοντας
Λαοῦ. οἱ δ' ἄρ' ἔβαν, ταχέεσσιν ἐοικότες ἵπποις,
Οὐδενὶ χαῖρε λέγοντες, ἐπεὶ τελέεσκον ἄνακτος
Ἔργα μέγιστα, βαρεῖα, μυῶν καλέοντες ἀρίστους.
Δὴ τότε κήρυττον λιγέως μάλα, στάντες ἐπ' οὐδῷ,
Ἐλθέμεναι πρὸς ἄνακτα μυῶν ταχέεσσι πόδεσσι·
Οἱ δ' ἄρα δόρπον ἕλον, καὶ λουσάμενοι λάσιον κῆρ
Ῥίμφα θέεσκον ὁδοὺς μεγάλου βασιλῆος ἐπ' αὐλήν·
Αὐτὰρ ἐπεὶ ῥ' ἤγερθεν, ἄναξ μετὰ τοῖσιν ἀναστὰς
Ὧδ' ἀγορεύεσκεν, προτέρους πόδας ὕψι ἀνασχών·
Λαοῦ ἡμ[illegible] ἡγήτορες, ἠδὲ μέδοντες,
Μῦθον ἀκούετε πάντες, ὃν ἐν φρεσὶ θῆκε θεός τις·
Οὐκέτι ἡμετέρη χωρεῖ γῆ πλῆθος ἐνοίκων,

Οὐδ᾽ ἀρκεῖ ποίη, κρῖ λευκὸν ἰδ᾽ ἄλφιτα πυκνά.
Τῷ νυ μύας, τοί εἰσι νεώτεροι, ὀτρύνωμεν
Εἴς πόλεμόν τε μάχας τ᾽· ἔτι γὰρ δὴν μόρσιμοι ἄνδρες
Ἡμέας ὑβρίζεσκον, ἐπεὶ ὑπερήφανοί εἰσιν.
Τῶν δ᾽ ἡμεῖς ἀγρούς τε πόλεις τε πεποιθότες ἀλκῇ
Αἱρῶμεν, μήπως βιότου δευώμεθα πάμπαν.
Τοῦτο δὲ ποῖον ἔμεν δοκέει, φράζεσθε καὶ ὑμεῖς.
Ὣς φάτ᾽ ἄναξ, λαοῦ δὲ μέδοντές θ᾽ ἡγεμόνες τε
Πάντες ὁμοῦ κράζεσκον, ἐπεὶ τοῦ μῦθον ἄκουσαν·
„Ἦ τόδε ἄμμι σοφὸν δοκέει· βασιλεὺς γὰρ ἔειπεν.“
Ὣς οἱ βουλεύσανθ᾽· ὁ δ᾽ ἄναξ ὡπλίσσατο δόρπον·
Ἐσθλὴν παγγλυκέην σφιν ἐδητύα θῆκεν ἐπ᾽ οὖδας,
Τήν ποθ᾽, ὅτ᾽ ἀνθρώποισιν ὁμίλει, ἥρπασεν αὐτός,
Οἱ δ᾽ ἄρα σπουδαίως ἔφαγον καὶ ᾔνεον αἰνῶς,
Αὐτὰρ ἐπεί ῥ᾽ ἔφαγον, δράμον εἰς ἑὸν οἶκον ἕκαστος,
Οὔτε τὸ πᾶν ἔλεγον τοῖς ἀντιόωσι μύεσσιν,
Οὔτ᾽ οὐδέν· βαθέην δ᾽ ἄλοκα φρεσὶν ᾗσιν ἔνεγκον.
Αὐτὰρ ἄναξ κήρυκας ἵει τότε δεύτερον αὖθις.
Ἐσθλὸς Μυοκρέων, ὅς ἐπωνυμίην κέκληται,
Λαὸν ὅπως καλέοιεν ἅπαντ᾽ ἀγορήνδε φέρεσθαι.
Οἱ δ᾽ ἄρ᾽ ἐκήρυσσον· τοὶ δ᾽ αὖ τάχα ἠγερέθοντο
Θαμβοῦντες· τί γὰρ ἔστιν, ἁπάντων οὔτις ἔοιδεν.
Ἀλλ᾽ ὅτε δὴν ἔσταν, περὶ πολλῶν βαττολογοῦντες,

Δὴ τότε καὶ βασιλεὺς σφιν ἐπήλυθεν, ἀμφ' ὤμοισι
Φᾶρος ἔχων χιόνος πολὺ χειμερίνοιο, φαεινȣ̃
Λευκότερον, ἐπὶ δ' αὖ κεφαλῇ φέρε ϛέμματα χρυσȣ̃·
Ὕψι δ' ἄειρε πόδας προτέρους καὶ ἤρξατο μῦθον.
Κλῦτε, μύες, μῦθόν μευ, ἀμύμονες, ἀργιόδοντες·
Ἔχθρας γ' ἀνθρώπων εὖ ἴσθ', ὡς ἐμπεδὲς αἰεὶ
Μῖσος ἔχȣσι μέγ', ἀργαλέον· κτείνουσι γὰρ ὠμῶς,
Ἡμέων ὅττε τιν' οἷον ἐόντα ζωὸν ἕλοιεν·
Λοιδορέουσι δ' ἔπεσσι κακοῖσιν, κερτομίοισι,
Καὶ προδραμόντ' ὄρεος μεγάλȣ καλέȣσι γελοῖον*).
Ὣς καὶ αἰλύρων γένος ὠκυπόδων, ἐχθίϛων
Ἐν σφετέροις οἴκοις ἀτιτάλλεται, ὧν τινα νεκρὸν
Ἄρτι καλοῖς Ῥήνȣ ἐνέβαλλον κύμασι κλειτȣ̃
Καὶ μάλα ὑβρίζοντες ἔπεμψαν ἐφ' ἡμετέρην γῆν.
Ἀντὶ δὲ τῶν πόλεμον νῦν ὀτρύνωμεν ἅπαντες·
Οὐ γὰρ πάντας ἀλαλκέμεναι ἅλις ἄλκιμοί εἰσιν,
Ἀλλ' εἴξȣσι μυῶν ἀλκῇ, τοὶ λιμὸν ἄγȣσι
Δεινὸν ἐπ' ἀνθρώπους, ἀγαθὸν γῆς καρπὸν ἔδοντες,
Πίονας αὐτὰρ ἀγρȣ̀ς καὶ οἴκους ἕξομεν ἡμεῖς.
Τȣ̃το δ' ἐγὼ ὑμῖν τȣ́τȣ τεκμήριον οἶδα·
Ἄρτι γὰρ ἀνθρώπων εἰϛήλυθον ἄϛεα μȣ̃νος,

*) Vgl. Horaz: parturiunt montes, nascetur ridiculus mus.

Αὐτὸς σκεψόμενός ῥ᾽, ὅσσοι ποτ᾽ ἔασι καὶ οἷοι·
Κώμας δ᾽ αὖ, πόλεάς τε διέδραμον, οὐδέ τις εἶδεν,
Καὶ ἀγοράς, ναούς τε θεῶν καὶ βιβλιοθήκας,
Καὶ ταμιεῖ᾽, ἐνὶ τοῖσι γυνὴ ᾽γαθὰ βρωτὰ φυλάττει.
Αὐτὰρ ἅπαξ ἔμ᾽ ἴδον· κυρῶν τε γὰρ ἠδὲ γυναικῶν
Πουλὺς ὅμιλος ἔην· μία τὰς δ᾽ ἄλλας ἐκάλεσσεν
Ὥρᾳ ἑσπερινῇ, δόμου ἐν μυχῷ· αἱ δ᾽ ἄρ᾽ ἔπινον
Ἡδὺ ποτὸν χλωρόν τι, καὶ εἰς γάλα λευκὸν ἔχευον,
Πολλὰ δὲ βαττολόγουν καὶ λοιδορέεσκον ἀπούσας.
Σῖγα δ᾽ ἔγωγ᾽ ἥμην πεπτηώς, πάντα δ᾽ ἄκουον.
Αὐτὰρ ἐπεὶ ἐβόασκον ἅπασαι, ἄλλαι ἐπ᾽ ἄλλαις,
Δὴ τότ᾽ ἔγωγ᾽ ἔθελον ψωμὸν καὶ αὐτὸς ἑλέσθαι·
Ἀλλόμενος δὲ προῆλθον, ἐμοῖσι πόδεσσι πεποιθώς·
Καὶ μία γνῶ, καὶ ἴδεν, καὶ ἔκραγε· „μῦς!“ αἱ δ᾽ ἄλλαι
Μηδὲν ἰδοῦσαι, ἀκούσασαι μυὸς οὔνομα μοῦνον
Ἔτρεμον αὐτίκ᾽, ἔφευγον ἰδ᾽ ἐκθορέοντο θύραζε.
Ὣς αἱ μὲν μάλα δειλαὶ ἐφαίνοντ᾽ ἔμμεν ἅπασαι·
Ἐκ τάων δὲ παρ᾽ ἀνθρώποις γένος ἔρχεται ἀνδρῶν·
Τίς δὲ τί οὖν, μὴ αὐτὸς ἔχων, ἑτέροις κεν ὀπάζοι;
Αἱ δ᾽ ὡς δεύονται θυμοῦ θρασυκαρδίου, ἐσθλοῦ,
Ῥεῖα νοεῖτ᾽· οὐ δ᾽ ἄνδρες ἀρείονες αὐτοὶ ἔσονται.
Τῷ νῦν ἐξέρχεσθε, μύες κλυτοί, ἀργιόδοντες,

Ὄφρα σφιν κρυερὸν πολέμου ὀρυμαγδὸν ὄρωμεν.
Ὣς φάτο Μυοκρέων καὶ αὖ καθέηκεν ἐπ᾽ οὖδας
Τὸν πόδα τὸν πρότερον, τὸν ἀνασχὼν εὖ ἀγόρευσεν.
Οἱ δ᾽ ἄρα τοῦ μὲν μῦθον ἐπῄνεον, ὦκα δ᾽ ἀνέσταν·
Ἀνστάντων δὲ καὶ αἰνεόντων ὀρυμαγδὸς ὀρώρει
Ἄσπετος· ὄρθωθεν δὲ ἑὴν ἐς τάξιν ἕκαστος·
Προὔδραμε Μυοκρέων καὶ αἰνὰ σύριζε κελεύων,
Προὔδραμε δ᾽, ὡς βροτοὶ ἡγεμόνες ταχέεσσιν ἐφ᾽ ἵπποις·
Οὔ ποτε γὰρ πόλεμος παρὰ ὠκυπόδεσσι μύεσσι
Κυανέοις μάλα δηθὰ παρασκευάζεται ὠμός·
Οὐ γὰρ οἱ αἰχμάων δολιχῶν, ξιφέων τε δέονται,
Ἀσπίδας οὐδὲ φέρουσ᾽, οὐδ᾽ αὖ ἐπὶ γούνασι κνήμας,
Οὐδὲ λίνου κλισίας, ὡσεὶ βροτοὶ ἄνδρες, ἔχουσιν,
Ἀλλ᾽ ὅτε πρῶτα κέλευσεν ἄναξ λαοῦ, τότε δῆμος
Ὦκ᾽ ἀνὰ πᾶς ἵσταντ᾽, οἷοισιν ὀδοῦσι πεποιθώς·
Πάντα γὰρ αἰεὶ ἔχειν σὺν ἑοὶ δεῖ καρτερὸν ὄντα.
Δοιοὺς δὴ ἐκάλεσσεν ἄναξ καὶ δυσχερὲς ἔργον
Ἐκτελέειν ἐπέτρεψεν, ἐς ἀνδρῶν πίονα γαῖαν
Φθάνοντας δραμέειν, κρύφα καὶ εἰσελθέμεν οἴκους,
Ἠδὲ καταφθείρειν αὐτῶν τινας ἀργυρίοισιν.
Κρυπτόνοον δ᾽ ἐξεῖλεν ἰδὲ Δολιόφρονα, ἄμφω
Εὖ πολιτευομένω, καὶ ψεύδεσθαι μέγ᾽ ἀρίστω.
Οἱ δ᾽ ἄρα ποσσὶ δράμον ταχέσιν, κεχαρηότι θυμῷ·
Καὶ τότε δὴ ἔκραξεν ἄναξ φωνῆφι λιγείῃ·
„Κλῦτε, μύες, νῦν αἶψα βαρὺν πόλεμόνδε κίωμεν."

Ὣς φάτ᾽ ἄναξ, χιλίων δὲ ποδῶν ὀρυμαγδὸς ὄρωρεν
Ὥρῃ ἑσπερινῇ κατὰ Μυονίην ἐρατεινήν,
Πατρίδα συμπάντων, τὴν δὴ λίπον οὐκ ἀέκοντες.
Ἤνυσαν οἱ δὲ μύες σπεύδοντες ὁδὸν κατάγειον,
Ἔκδυσαν δὲ βόθρου καὶ εἶδον ὑπέρτερον οὖδας
Ἀθρόοι, ὅττε φάος Φοίβου σβέσε νὺξ ἐρεβεννή·
Φαίνετο δὴ μήνη· τοὶ δ᾽ οὐκ ἐμέδοντο, σελήνης
Φαινομένης, γλυκέος κοίτου, ἀλλ᾽ ἔδραμον αἰεὶ
Νύκτα δι᾽ ὀρφναίην καὶ φαιδρὴν δῖαν ἐς ἠῶ.
Ἦρχε δὲ Μυοκρέων, ὃς ἐπωνυμίην κέκληται,
Ἀργεννῇ δ᾽ ἐσθῆτι πυκασμένος ἦεν ἁπάντων
Οἶος, ἐπ᾽ αὖ κεφάληφι φέρεσκε ςέμματα χρυσοῦ.
Καὶ μετὰ τόνδε μύες βὰν μουσικοὶ, εἰδότες ἐσθλῶς
Πολλὰ συριζέμεναι, καὶ ῥοῖζον ὄρειν κελαδεινόν·
Τῶν δ᾽ ἄρα ῥοιζούντων, παιήονα καλὸν ἄειδεν
Πᾶς ςρατὸς ἐρχόμενος, καὶ ἄλκιμος εὔχετο εἶναι.
„Θάρσεε, κυανοχαῖτα μυῶν ςρατέ, θάρσεε θυμῷ.
Ἄμμι γάρ ἐςι λέων αὐτὸς φίλος ἠδὲ ἑταῖρος,
Τόνπερ τετραπόδων πάντων καλέουσιν ἄριςον.
Εὖ γὰρ τὴν ἀρετήν, τὴν οἱ θεοὶ ὤπασαν ἡμῖν,
Ἔγνω, ὅττε βροτῶν δολεραῖς παγίδεσσιν ἑάλω,
Οὐδ᾽ ἴσχυσε διαῤῥῆξαι βροχοῦ ἀργαλέοιο
Δεσμοῦς, ἀλλὰ κακὸν τότ᾽ οἴετο πότμον ἐπισπεῖν.
Ἀλλά τις ἡμετέρων προγόνων ἴδεν ἀσπαίροντα,
Πρόςδραμε δ᾽, ἠδὲ λέοντι φίλος ἐπιτάῤῥοθος ἦλθεν,
Ἀσπάσιος, καὶ δάκνε βροχοῦς καὶ δεσμὸν ἔλυσεν.

῞Ως, ὅπερ οὐ δύναται λείων, τόν φασιν ἄριςον
Πάντων τετραπόδων ἔμεναι, τοῦτ' ἠδύνατο μῦς.
Θάρσεε, κυανοχαῖτα μυῶν ςρατέ, θάρσεε θυμῷ."
῎Αλλοι δ' αὖ ἄλλον παιήονα καλὸν ἄειδον·
Θάρσεε, κυανοχαῖτα μυῶν ςρατέ, θάρσεε θυμῷ·
Φῶς κακὸς ἦν ποτέ τις, ὃς πόλλ' ἐτέλεσσεν ἀλιτρά,
Καίπερ ἐὼν ἱερεὺς μεγάλου θεοῦ ἀθανάτοιο.
Κλειτῇ δ' ἐνὶ πόληϊ καλοῦ ῾Ρήνοιο παρ' ὄχθαις
Καλὰ μάλ' οἰκία ναῖε, βίον καὶ ἄφθονον εἶχεν.
Λιμὸς δ' ἀργαλέος βαρὺς ἤλυθε πᾶσαν ἐπ' αἶαν,
῞Ος πολλοὺς ἐδάμησε καὶ ὤλεσεν ἐξ ἀνθρώπων.
Κεῖνος ἀτὰρ λιπαρῶς αἰεὶ καὶ πῖνε καὶ ἦσθε,
Φθινομένοις δὲ πένησιν ἀνήνετο σῖτον ὀπάζειν.
Δὴ τότε τοὺς προγόνους, τῶν υἱέες εὐχόμεθ' εἶναι,
῏Ωρσε θεὸς κρατερός, τοὶ δ' οὐκ ἀέκοντες ἕποντο.
Αἶψα τοῦ οἶκον ἔδυσαν ἀολλέες, ἐξέλασάν τε·
Οἱ δὲ διώκοντες φυγάδος μετὰ ἴχνια βαῖνον.
Μέσσῳ δ' ἐν ποταμῷ λίθινον μέγαν ᾠκοδόμησε
Πύργον ἐπ' ἀμφιρύτῳ νήσῳ σπιλάδεσσί τε λείαις,
Κεῖθι θέλων κρύψασθαι ἰδ' ἀντιπάλους ἀλεείνειν,
Νήπιος· οὐ γίγνωσκε μυῶν κρατερόφρονα θυμόν·
Τῶν γὰρ νηχόμενος πέρασε ςρατός· οὐ γὰρ ἔδεισαν
Κύματα καὶ ποταμοῖο βίην βαθέος περ ἐόντος.
᾿Αμφοτέρωθι μύες δ' ἀνέβησαν τείχεος ἔξω,
᾿Ες πύργον τ' ἐςέδυν, καὶ αὐτῷ ἐφορμήθησαν
Χωόμενοι, καὶ σῶμα διαῤῥαίσαντες ὑπ' ὀργῆς

Δεινῆς, ἀσβέϛȣ, κρατερᾶς, πύργον καθέειλον,
Μικρὰ δὲ τείχε' ἔλειπον, ὅπως οἵ τ' οὔνομα δόντες
Εὐρὺ καὶ ἀθάνατον κλέος ἐσσομένοισιν ἔχοιεν.
Ὣς οἱ μὲν μαχέοντο καὶ ἀνδρῶν ἀλφηϛάων
Ἐκράτεον· τοίων δὲ καὶ ἡμεῖς ἔκγονοί ἐσμεν.
Θάρσεε, κυανοχαῖτα μυῶν ϛρατέ, θάρσεε θυμῷ.“
Ὣς μύες ἐρχόμενοι παιήονα καλὸν ἄειδον
Νύκτα δι' ὀρφναίην καὶ φαιδρὰν δῖαν ἐς ἠῶ.
Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυȣ̃ Τιθωνοῖο
Ὤρνυθ', ἵν' ἀνθρώποισι φόως φέροι ἠδὲ μύεσσι·
Οἱ δὲ μάλ' ἀκάματοι ὁδὸν ἤνυον· αἶψα δὲ φήμη
Ἦλθεν ἐς ἀνθρώπȣς λιγυρή· εἴωθε δὲ πάντα
Δεινῶς αὐξῆσαι, ψύλλαν τ' ἐλέφαντα καλέσσαι·
Ἀλλὰ τότ' ȣ̓κ ηὔξησεν, ἐπεὶ μύες ἀργιόδοντες
Ἀνθρώποις δειλοῖσιν ἐπήγαγον αἰπὺν ὄλεθρον.
Συμπάντων δὲ δόμων ἅμα ἠοῖ πουλὺς ὅμιλος
Ἐκκέχυτ' εἰς ἀγορὴν· οἱ δ' ἤλυθον ἄλλοθεν ἄλλοι,
Ὄσσε βαρυνόμενοι ὕπνῳ. δεύοντο δὲ καλῆς
Ἐσθῆτος, φορέειν οἵην βȣληφόρον ἄνδρα
Δεῖ ἀγαθόν· πολλῶν δὲ μετ' ἀνδρῶν ἴχνια σπεῦδον
Κȣρίδιαι ἄλοχοι, φᾶρος τ' ἐνὶ χερσὶ κόμιζον.
Ὡς ὅτ' ἀπ' ȣ̓ρανόφιν πλήξασχ' ὑψιβρεμέτης Ζεὺς
Πύργον, ὃς εἰνὶ πόλει ὑψηλότατος δέδμηται·
Σύμπαντος λαȣ̃ ἐλελίζεται ὦτα κεραυνῷ·
Αἶψα δ' ἄρ' ἐκ πύργȣ φλόγες ἄσβεϛοι βεβάασιν
Οὐρανὸν εἰς· οἱ δ' ἄνδρες ἐπειγόμενοι δι' ἀγυιὰς

Ἔρχονται, ἐπιμὶξ δὲ κόραι, νέοι ἠδὲ γυναῖκες,
Τέκνα τε, σὺν κραυγῆφι χεροῖν τεταγόντα τεκοῦσας.
Ὣς τότε σπευδόντων θόρυβος κελαδεινὸς ὄρωρεν
Ἀνδρῶν, ὄφρ' εὕρωσι κακῶν φύξιν παρεόντων.
Θηλείας δὲ φόβος περὶ τ' οἴκων ἤγαγεν ἔνθα,
Καὶ ἀποθηκάων, ταὶ ἐδώδιμα ἐντὸς ἔειχον.
Εἰσόμεναί τ' ὡρμῶντο, τὰ ἀνέρες ἐξερέουσι,
Τίς τε μάλιστα λέγων ἐπὶ βήματι εὐδοκιμήσει.
Τοῖσι μὲν οὖν ἀγροῖκος ἀνὴρ πολὺ πρῶτος ἀνέστη,
Ἱδρῶτι τὸ δέμας κεκαλυμμένος ἠδὲ κονίῃ
Ἐκ δρόμου, ὃν σπουδῇ δράμεν εἰς πόλιν εὐρυάγυιαν·
Ῥάβδον ἔχων μετὰ χερσὶν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Ὦ φίλοι, ἡγεμόνες πόλεως ἄλλοι τε πολῖται,
Ἴστε τόδ', ὅσσον ἐμοὶ κακὸν ἤλυθε δώματος εἴσω·
Ἄλλων μὲν μέλει οὔποτ' ἐμοί, ἐμέθεν δὲ μελήσει
Αἰεί, ὄφρ' ἂν ἔγωγε βροτοῖς δειλοῖσι μετείω·
Καρπὸς ἀεὶ βέλτιστον ἐμοί· νῦν τηλόθεν ἦλθε
Πουλὺ στράτευμα μυῶν, τοί μοι βίοτον κατέδουσιν.
Ὦ πόποι· οὐδὲν ἐμοί, οὐδ' αὖ τέκνοισι φίλοισι,
Οὐδὲ γυναικὶ φίλῃ λείψουσιν ἐδώδιμον οὐδέν.
Ἀλλὰ καὶ ὑμεῖς αὐτοὶ ἀπολλύμενοι θανέεσθε
Λιμῷ· τίς γὰρ ἀγροῖς μελλήσει σπέρματα δῦναι,
Ἢν μὴ ὅπλα ἑλόντες ἀμύνητ' ἄλκιμον ἐχθρόν;
Τῷ οἰκτειρέμεναι ἐμὲ νῦν ὑμᾶς τε καὶ αὐτούς.

Ὣς ἔφατ᾽· οὐ δὲ τέλος πω ἔμελλ᾽ ἐπιθεῖναι ἔπεσσιν,
Γλῶσσα δέ οἱ ἔςη, πέσε δάκρυα θερμὰ χαμᾶζε·
Οὐ γὰρ ὅγ᾽ εἰν ἀγορῇ εἴωθ᾽ ἀγορευέμεν οἶος.
Τὸν δ᾽ ἄρα Ὑψίνοος τάχ᾽ ἀμείβετο κερτομίοισι,
Φιλοσόφων οὔχ᾽ ἄριςος, οἳ ἐν πτολιέθρῳ ἔναιον.
Χωόμενος κραδίῃ ἔπεα πτερόεντα προσηύδα·
Τίς γὰρ ὅδ᾽ ἐςὶν ἀνήρ; τόνδ᾽ οὔτε ἔχει κλέος ἐσθλόν,
Οὐδ᾽ ἕξει· βιόειν μιν ἀνώνυμον ἤματα πάντα
Δεῖ, ὥς φημι κατ᾽ αἶσαν· ἔγωγε δὲ εὔχομαι εἶναι
Κλειτὸς ἀνήρ, ὄνομ᾽ Ὑψίνοος, σοφός, οὔτινος ἥττων.
Ὥς ποτε Σειρῆνες πάντ᾽ ᾔδεσαν, ὅσσ᾽ ἐνὶ γαίῃ
Γίγνετο, ὣς καὶ ἐγὼ φρενὶ (κλύετε) πάντα καλύπτω,
Ὅσσα παρ᾽ ἀνθρώποις τε πέλει καὶ ἀθανάτοισιν.
Τοῦτο δ᾽ ἐγὼ νῦν φημι, καὶ ὑμᾶς, εἴ κέ τι λέξω,
Δεῖ πιςευέμεναι· μύες ἡμέτερον πτολίεθρον
Αἶψα βίῃ αἱροῦσι καὶ οὐκέτι ἔςιν ἀμύνειν
Ἐχθρὸν ἐπερχόμενον· τὰ δὲ γιγνόμεν᾽ ἐςὶν ἅπαντα
Παντελέως ἀγαθά, φρονέων εἴπερ νοέει τις·
Ἅττινα δ᾽ αὖ δοκέει ἀγάθ᾽ ἔμμεναι (εὖ τὸ γὰρ ἴδμεν)
Γίγνεται ἐν γαίῃ· τῷ νῦν οὔθ᾽ ὅπλα λαβέσθαι
Οὔτε καὶ ἐκ βλεφάρων μάλ᾽ ἀεικέα δάκρυα χεῦαι,

Οὐδὲν ἐμοὶ ὄφελος δοκέει· ἀλλ᾿ εἴκεθ᾿ ἑκόντες
Ἀντιβίοισι μύεσσιν, ἐπεὶ τόδε πολλῷ ἄμεινον.
Ὣς ἔφατ᾿· ἐκ δ᾿ ἀγορῆς ἐπανήλυθεν ὅνδε δόμονδε
Μακρὰ βιβάς, καὶ ἄειρε κάρη, σοφίης ἐρατεινῆς
Πλῆρες ἐόν· τῷ δ᾿ αἶψα γυνὴ τότε δαῖτα πίειραν
Αἰδοίη παρέθηκε μυχῷ δόμου αἰγλήεντος·
Οὐ γὰρ ὅγ᾿ ἀργυρίοιο ἐδεῖτ᾿ ὅτε χρυσοῖο·
Ἀλλ᾿ οἱ Κρυπτόνοος πόρε χρήματα καὶ Δολιόφρων
Πολλά, μυῶν βασιλεὺς ὅσπερ κρύφα πέμψεν ἐς ἄστυ,
Ὄφρα διαφθείροιεν ὅλως, κακὸν ἄνδρα κιχόντες
Τὴν πόλιν ἐκδιδόναι δολερῶς ἐθέλοντα μύεσσιν.
Ἐν δ᾿ ἀγορῇ μετὰ τοῖσιν ἀνέστη Μουσοβιαστής,
Ποιητὴς λιμῷ δεδμημένος· οὐ γὰρ ὅγ᾿ ἄρτον
Οὔτε φαγεῖν κρέα εἶχεν· ὁ δ᾿ ἔτρεφεν ὕδατι σῶμα
Κασταλίῳ· ὁ δὲ νῦν σκῆπτρον λάβεν ἔκ τ᾿ ὀνόμαζεν·
Κλῦτε, φίλοι, καὶ ἐμεῖο· πέλει ἔχθιστον ἁπάντων
Φιλοσόφων τὸ γένος ποιητῇσιν λιγυροῖσιν·
Ἀλλά νυ οὐ τόδ᾿ ἄνευ θεοῦ φάτο· τῷ νυ πίθεσθε.
Ὣς φάτο, ἄλλα δὲ κεῦθε νόῳ καὶ οὐδὲν ἐτόλμα
Ἐξειπεῖν ἔπεσιν δήλοις, ἐπεὶ ἤλπισεν αὐτός,
Ἐν πολέμῳ τε καὶ εἰρήνῃ μύας ἀργιόδοντας
Πράξειν πράγματα καλὰ καὶ ἐσθλῆς ἄξι᾿ ἀοιδῆς.

Ἄνθρωποι γὰρ ἄεργοι ἄτερ τιμῆς καὶ ἐπαίνου
Ἤματα πάντα διῆγον ἰδ' οἴης γαστέρος ἀργῆς
Κήδοντ', ὄφρα φάγοιεν· ὁ δ' οἶος Μουσοβιαστὴς
Δεύετ' ἀναγκαίων καὶ οὐκ ἔχεν οὐδὲν ἀείδειν.
Ἀλλ' ἐπεὶ ἐξαγόρευσε, τέλος τ' ἐπέθηκεν ἔπεσσιν,
Δὴ τότε γογγυσμὸς πολλῶν κελαδεινὸς ὄρωρε
Χωομένων· οἱ δ' αἶψα σιωπῆσαί μιν ἄνωγον.
Ὡς ὅτε κύματα πολλὰ θαλάττης ἀτρυγέτοιο
Κινεῖται καὶ ὦκα κυλίνδεται ἐκ Βορέαο,
Ὣς τότε κυμαίνουσα πανήγυρις ἔνθα καὶ ἔνθα
Φαίνετο· τοῖσι δὲ Σωφρόνιος σκῆπτρον λάβε χερσίν,
Ἵζεσθαι τ' ἐκέλευσε καὶ ἐξονόμαζεν ἀναστάς·
Νῦν λέξω καὶ ἔγωγε, πέλων περ δήμιος ἀνήρ·
Φιλοσόφων δέ τίς ἐστι σοφώτερος ἐκ δήμοιο,
Ποιητὴν δ' ἀγορῆς νῦν ἐκβεβλήκατε αὐτοί·
Οὐ μόνιμον γὰρ ἔχει τι καὶ ἀσφαλὲς εἰνὶ φρένεσσι·
Οἰωνοῖς δὲ δοκεῖ ἐναλίγκιος, οἵπερ ἐν αἴθρῃ
Ἔνθα καὶ ἔνθα πέτονται ἀειρόμενοι πτερύγεσσιν.
Νῦν δ' ἄρα κλύετ' ἐμεῦ· δοκέει δέ μοι ἄνερας ἐσθλοὺς
Πεμπέμεναι, οἳ ἔασι κατάσκοποι, ὄφρα καὶ αὐτοὶ
Λάθρα ἴδωσι μυῶν στρατιὴν καὶ πουλὺν ὅμιλον,
Ἡμῖν δ' ἀγγελίην εἰς ἄστυ φέρωσιν ἰδόντες.
Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἐπήνεον· αἶψα δὲ χεῖρας

Ὑψόθι τείνοντες Κλυτοστρούθιον ἐξελέγοντο,
Ὅνπερ ἀληθείης κριτικώτατον ἐντὸς ἔειχον
Ἐν πόλει· ὣς γὰρ ἔφαντο, θεοὶ δέ σφιν οὐ κατένευον.
Τοῖσι δὲ οὐκ ἀέκων Κλυτοστρούθιος αὐτὸς ἀνέστη,
Οὔτε γεραιὸς ἐών, κρατερῷ οὔτ᾽ ἀνδρὶ ἐοικώς,
Ἀλλὰ νεηνίσκος· ψιλὴν δ᾽ ἄρ᾽ ἔειχε γενειάν.
Χρῶμα δέ οἱ λευκόν τι μεμιγμένον ἦεν ἐρυθρῷ.
Σκῆπτρον χερσὶ λαβὼν ἔπεα πτερόεντα προσηύδα·
Κλῦτε, φίλοι, καὶ ἐμεῖο· θεῷ σοφίην γὰρ ἔοικα·
Ἄξιον ἄνδρα ἕλεσθε μυῶν μυστήρι᾽ ἀνευρεῖν·
Οὐ γὰρ κευθέμεναι αὐτοὶ θεοὶ οὐρανίωνες
Ἡμέτερόν γε νόον ἐδύναντό τι· ῥηϊδίως δὲ
Πᾶσαν ἀληθείην ἐξεύρομεν ὀξέϊ θυμῷ.
Πῶς δὲ μύες κεύθουσι, μικρὸν γένος, ἀργιόδοντες;
Πολλὰ λογίζονται, ἀτέλεστα δὲ πάντα τέτυκται·
Νῦν δ᾽ οὐ χρὴ εἰπεῖν, ἀλλὰ κλυτὰ ἔργα τελέσσαι.
Ὣς ἔφατ᾽· οἱ δ᾽ ἄρα πάντες ἐπῄνεον· αἶψα δ᾽ ἀνῆλθεν
Οἴκαδε, ὄφρα τὸ σῶμα κορύσσοιθ᾽, ὡς δέον ἐστὶν
Ἄνδρα κατασκοπέοντα κορύσσεσθαι πόλεμόνδε.
Νυκτερινὴν ταχέως κεφαλῇ ἐπέθηκε καλύπτραν,
Μὴ κόρυς ἐκλάμπουσ᾽, ὡσεὶ σέλας ἠελίοιο,
Σῆμ᾽ ἐχθροῖσι πέλοι· χείρεσσι δὲ βάκτρον ἔνεγκε
Κρύσταλλόν τε διαυγές, ἐπεὶ κατὰ ὄσσε μύωψ ἦν,
Οὔτ᾽ εὖ γιγνώσκων τά τ᾽ ἐν οὐρανῷ ἠδ᾽ ἐπὶ γαίῃ.
(Ψεύδετο δ᾽ ὀξύτατον δέρκεσθαι πᾶσαν ἐπ᾽ αἶαν·)

Αὐτὰρ ὅγ᾽ οὔτε μέγα, δολιχόσκιον ἔγχος ἔειχε,
Οὔτε σάκος στιβαρὸν, οὔτ᾽ αὖ ξίφος ἀργυρόηλον·
Μαρσυπίω δὲ δύ᾽ εἶχ᾽, ἕτερον κόπροιο δυσώδους,
Ψάμμου δ᾽ αὖ ἕτερον πεπλησμένον, ὄφρα δύναιτο
Τὴν μὲν ἐς ὀφθαλμοὺς ἀλεγεινοῖς βαλλέμεν ἐχθροῖς,
Κόπρῳ δ᾽ ἐσθῆτά σφι μιαινέμεν ἠδὲ χιτῶνα.
Ὣς γὰρ ἔδει ὁπλιζόμενον πόλεμόνδε φέρεσθαι
Ἄνδρα κατασκοπέοντ᾽, ἀνδρῶν κριτικώτατον ἄλλων.
Αὐτὰρ ἐπεὶ πόλεμόνδ᾽ ὡπλίσσατο νηλέϊ κόπρῳ,
Δὴ τότε οὐκ ὀλίγοι αὐτοὶ ἐθέλοντες ἕποντο
Ἐκ πόλεως ἐπ᾽ ἀγρούς· τῶν δ᾽ οὖν Κλυτοστρούθιος ἦρχε
Πάλλων μαρσυπίω, ὡς ὄβριμον ἔγχος Ἀχιλλεὺς
Πάλλεν ἄγων πεδίονδε καρηκομόωντας Ἀχαιούς·
Νήπιος, οὐ γὰρ ἔμελλ᾽ ἐπανελθέμεν ἄστυδε σῶος,
Ἀλλὰ λόχον τεύξαντο μύες σοφοί, ἀργιόδοντες
(Μυοκρέων δ᾽ ἐκέλευσεν) ὑπὸ χθονὶ πουλυβοτείρῃ·
Ὦκα δὲ οἱ, παιᾶνας ἐνὶ στήθεσσιν ἔχοντες,
Ἤλυθον· οὐ γὰρ ἀειδέμεναι φωνῆφι λιγείῃ
Τόλμησαν· σιγῇ νίκην πραπίδεσσιν ἔκευθον.
Μυοκρέων δ᾽ ἑτάρους προσεφώνεε κυανοχαίτας·
Ὦ φίλοι, ἄμμι θεοὶ ἐθέλουσιν κῦδος ὀπάζειν
Ἐσθλόν, ἐπεὶ πτήξας ἴδον ὀφθαλμοῖσιν ἐμοῖσιν
Ἄνδρα προσερχόμενον Κλυθοστρούθιον, ὅντε λέγουσιν
Ἔμμεν ἀληθείης πάντων κριτικώτατον ἄλλων.
Αὐτὰρ ὁ νῦν Ἀΐδαο δόμον ζοφόεντος ἐρευνᾷ

Ἡμετέρȣ ὑπ᾽ ὀδόντος, ὃν ὤπασεν ἀθάνατος Ζεύς.
Ὣς εἰπὼν βασιλεὺς μύας ἀργιόδοντας ὄρωρεν
Ἐκ βόθρȣ, τὸν ὄρυξαν, ἵνα σφίσιν εἴη ἐνέδρα.
Ἰλαδὸν ἐκθορέοντο συρίζοντες κελαδεινῶς·
Μυοκρέων δ᾽ ἄρα πρῶτος ἐπέσσυτο, νυκτὶ ἐοικώς·
Οἱ δὲ διεσκεδάσαντο φυγῇ τάχα ἄλλυδις ἄλλοι·
Ἠΰτε κάρφεα πολλὰ διεσκέδασ᾽ ἲς ἀνέμοιο
Πνείȣσ᾽ ἐκ νεφέλης κυανοπλοκάμοιο, μελαίνης,
Ὣς οἵγ᾽ ἄςυδ᾽ ἔφευγον· ἀτὰρ Κλυτοςρȣ́θιος οἷος
Μίμνεσκ᾽· ἀντίπαλοι δὲ μύες περὶ αἶψα χέοντο
Χωόμενοι, ὡς αὐτὸς Ἐνυάλιος ῥηξήνωρ,
Ὅττε μέγας βαίη φωσὶν μετὰ μαρναμένοισι·
Δὴ τότε οἱ λῦτο γȣ̃νε τρόμῳ, ὅτι μόρσιμον ἦμαρ
Ἤλυθεν ȣ̓κ ἐθέλοντι· ἄειρε δὲ χεῖρας ἀνόπλȣς
Λισσόμενος καὶ ἄνακτ᾽ ἔπεα πτερόεντα προςηύδα·
Ὦ βασιλεῦ, ἄλλοι τε μύες κλυτοί, ἀργιόδοντες·
Οἰκτείρειν ἐμὲ λισσόμενον· νῦν ἔμμεναι ἥττων
Φημὶ καὶ αὐτὸς ἐγὼ ὑμῶν, ἐπεὶ ἄλκιμοί ἐςε·
Οἰωνοῖσι δ᾽ ἅπασι κύνεσσί τε κύρμα γενέσθαι
Οὐχ᾽ ȣ̔́τως κεν ἀναινοίμην, ὡς ἀντιβίοισι
Ἐν θαλερῇ νεότητι μύεσσιν ἐλώριον εἶναι·
Ἧδε γε χειρίςῃ μεγάλῳ Διῒ ἥνδανε βȣλή·
Τῷ νῦν οἰκτείρειν, βασιλεῦ κλυτέ, ὀβριμόθυμε·
Ὣς φάτο λισσόμενος, τοὶ δ᾽ ȣ̓ χόλον αἰπὺν ἀνῆκαν·
Μυοκρέων δ᾽ ἄρα πρῶτος ἐπέσσυτο μακρὰ βιβάζων,

Αἰνὰ διαῤῥαίων λευκὴν χρόα λισσομένοιο·
Οἱ δ' ἄλλοι κεφαλὴν κρατεροῖς κατέδακνον ὀδοῦσι,
Σάρκα τε ὠμοφάγουν ἁπαλήν· ῥέε δ' αἵματι γαῖα.
Αὐτὰρ ἐπεὶ φωτὸς κταμένου δεινοῖσιν ὀδοῦσι
Στέρνον ἀνώϊξαν, τότε δὴ μέγα θαῦμα ἰδέσθαι
Μυοκρέοντι φάνη ῥηξήνορι, ὀβριμοθύμῳ·
Οὐ γὰρ ὅγ' ἦτορ ἔειχ' ἔνδον θνητῶν δέμας ἄλλων,
Οἵπερ ἔασι βροτοὶ καὶ ἀρούρης καρπὸν ἔδουσιν.
Ὣς μύες ἀργιόδοντες ἐφεσπόμενοι βασιλῆα
Ἔκτανον ἐν πεδίῳ Κλυτοστρέθιον, ὄρχαμον ἀνδρῶν,
Ὅνπερ ἀληθείης κριτικώτατον ἔμμεν ἔφαντο
Νήπιοι εἰνὶ πόλῃ· θεοὶ δέ σφιν οὐ κατένευον.